www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΤΩΝ ΑΓΙΩΝ ΤΟΥ ΓΟΛΓΟΘΑ, ἬΤΟΙ, ΤΟΥ ΔΙΚΑΙΟΥ ΛΗΣΤΟΥ, ΛΟΓΓΙΝΟΥ ΤΟΥ ΕΚΑΤΟΝΤΑΡΧΟΥ & ΤΩΝ ΣΥΝ ΑΥΤῼ ΔΥΟ ΣΤΡΑΤΙΩΤΩΝ

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* Ἅγιον Ὄρος Ἄθως * ͵βι' * 2010 *

www.tezaurliturgic.ro



# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΤΟΥ ΓΟΛΓΟΘΑ

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς ΡΜΒ΄ (142)*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπεν τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου, καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*εἶτα τό, Θεὸς Κύριος καὶ τὰ Τροπάρια*
*Ἦχος δ΄ Ὁ ὑψωθεὶς.*

Ἐν Γολγοθᾷ φιλανθρωπότατε Σῶτερ, καθυπογράψας αἵματί σου τῷ θείῳ, πταισμάτων ἡμῶν ἄφεσιν τὸν Δίκαιον Ληστήν, οἰκιστὴν



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro



ἀνέδειξας, Παραδείσου σου πρῶτον· τὸν δὲ Ἑκατόνταρχον, σὺν δυσὶ Στρατιώταις, πιστεύσαντάς σε ἀληθῆ Θεόν, στέφους μαρτύρων, λαμπροῦ κατηξίωσας.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνωνꙃ τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρουςꙃ οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ, σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστιν διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψης με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιόν μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

***Εἶτα ψάλλεται ὁ κανών, οὗ ἡ ἀκροστιχίς:***

*«Ἄφες ἡμῶν τὰ πταίσματα, ὦ Ἐσταυρωμένε. Ἀ(θανάσιος)».*

*Ὠιδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.*

*Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν*

Ἀγάπῃ ἀῤῥήτῳ Λόγε Θεοῦ, τὴν σάρκα φορέσας καὶ τὴν σταύρωσιν ὑποστάς, εἰσήγαγες πρῶτον Παραδείσῳ, Ληστὴν ὡς κλεῖδα βαλόντα τό, Μνήσθητι.

*Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν*

Φρουρῶν ὁ Λογγῖνος ἐν Γολγοθᾷ, φιλάνθρωπε Σῶτερ, μετενόησεν εὐθαρσῶς, σημεῖα ἰδὼν τὰ ὑπὲρ φύσιν, καὶ σὲ Υἱὸν τοῦ Θεοῦ ὡμολόγησεν.

*Δόξα Πατρί.*

Ἐν σπλάγχνοις ἀγάπης Παμβασιλεῦ, δυάδα φυλάκων, πρὸς τὴν πίστιν μεταγαγών, ἀπέδειξας τούτους μάρτυράς σου, τῆς Γολγοθᾶ ὑπὲρ λόγον κενώσεως.

*Καὶ νῦν καὶ ἀεί.*

Σταυρῷ ἱσταμένη τοῦ σοῦ Υἱοῦ, Πανάχραντε Κόρη, ὑπερήλγησας μητρικῶς· διὸ ἐκ δεσμῶν πλήθους παθῶν με, σαῖς ἱκεσίαις ταχὺ ἐλευθέρωσον.

*Ὠιδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

*Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν*

Ἥλιός σε ὡς εἶδεν, ἐπὶ σταυροῦ Δέσποτα, ἔκρυψε τὸ πρόσωπον φόβῳ, καὶ σκότος γέγονε· σὺ δὲ ὡς Ἥλιος, δικαιοσύνης ὑπάρχων, σκότη μου διάλυσον, φωτὶ ἀΰλῳ σου.

*Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν*

Μετανοίας ἐργάτην, τῆς ἀληθοῦς δεῖξόν με, Σῶτερ ἁμαρτίαις παντοίαις, σὲ παροργίζοντα, καὶ τῷ ἐλέει σου, τοῦ Παραδείσου πολίτην, ὡς Ληστήν με ποίησον, μετανοήσαντα.

*Δόξα Πατρί.*

Ὡς κημῷ ἄλογόν με, πρὸς τὸν κρημνὸν ἄγουσι, πάθη Ἰησοῦ καθ' ἑκάστην, καὶ σοῦ μακρύνομαι· διό με ἕλκυσον, ὡς Γολγοθᾶ τὸν Λογγῖνον, εἵλκυσας καὶ ἔδειξας, θεῖόν σου μάρτυρα.

*Καὶ νῦν καὶ ἀεί.*

Νῦν καιρὸς μετανοίας, ἕως τὸ φῶς ἔχομεν· ὅθεν δυσωπῶ σε Παρθένε, ταύτην παράσχου μοι, ὅπως τὸ πρόσωπον, τοῦ σταυρωθέντος Υἱοῦ σου, ἴδω καὶ χαρήσωμαι, ἐν ὥρᾳ Κρίσεως.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


Διάσωσον, τοὺς ἀληθεῖ μετανοίᾳ Οἰκτίρμον, ᾑμαγμένοις ποσί σου προσπίπτοντας, καὶ ὡς Λῃστὴν ἐν Γολγοθᾷ, Βασιλείᾳ σου δέξαι.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.*

Μετάνοιαν δός, ὡς τῷ Λῃστῇ Φιλάνθρωπε, καὶ τρόπον ζωῆς, Εὐαγγελίῳ σύμφωνον, ὅπως ἐν ὥρᾳ Κρίσεως, σταθήσωμαι ἐνώπιον, τοῦ βήματός σου τοῦ φρικτοῦ, ὁ τάλας ἀκατάκριτος.

*Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε.*

*Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν*

Τῆς ψυχῆς μου ἐλῄστευσα, πάσας τὰς αἰσθήσεις ὁ ἀσυνείδητος, καί σοὶ κράζω Ἀναμάρτητε, ὥσπερ τοῦ Λῃστοῦ μου Σῶτερ μνήσθητι.

*Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν*

Αἵματί σου ἀπόπλυνον, τῶν ἁμαρτιῶν μου τὸ πλῆθος Κύριε, καὶ ἀξίωσον δοξάσαί σου, ὥσπερ ὁ Λογγῖνος τὴν θεότητα.

*Δόξα Πατρί.*

Πολυτρόπως πικραίνω σε, ὡς οἱ στρατιῶται χολῇ καὶ ὄξει τε, ἀλλὰ σύ μου ἄφες Δέσποτα, τὰ φωτὶ καὶ σκότει μοι ποιούμενα.

*Καὶ νῦν καὶ ἀεί.*

Τετρωμένος Πανάχραντε, πλήθει τῶν πταισμάτων θερμῶς σοῦ δέομαι, ἱκετεῦσαι τὸν Φιλάνθρωπον, ὅπως ἰατρεύσῃ ταῦτα τάχιστα.

*Ὠιδὴ ε'. Φώτισον ἡμᾶς.*

*Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν*

Ἅμα τῷ εἰπεῖν, τὸν Ληστὴν Μνήσθητι Κύριε, ἤνοιξας Σῶτερ τὸν Παράδεισον, ὃν χάρισαί μοι, τῷ ἐλέει σου προσπίπτοντι.

*Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν*

Ἵλεως γενοῦ, τοῖς πολλά σοι ἁμαρτάνουσι, Σῶτερ Φιλάνθρωπε σταυρὸν ὁ ὑποστάς, καὶ ὡς Λογγῖνον, εἰς μετάνοιαν ἐπίστρεψον.

*Δόξα Πατρί.*

Σῶσον τοὺς σταυρόν, ἐν βαπτίσματι ἐπάραντας, καὶ στρατιῶτας ἀληθεῖς δεῖξον ἡμᾶς, ὡς τὴν δυάδα, Γολγοθᾶ Κύριε ἔδειξας.

*Καὶ νῦν καὶ ἀεί.*

Μέγιστος ἀγών, ἐν τῷ βίῳ μοι ἐπίκειται, Παρθενομῆτορ πρὸς διάβολον, καθ'οὗ τὴν νίκην, ταῖς πρεσβείαις σου παράσχου μοι.

*Ὠιδὴ ϛ'. Τὴν δέησιν ἐκχεῶ.*

*Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν*

Ἀνάξιος, τῶν πολλῶν χαρίτων σου, ὧν μοι δέδωκας Σωτήρ μου ἐφάνην, καὶ ληστρικῶς, τὴν ψυχὴν ὁ ἀχρεῖος, γυμνὴν παντὸς ἀγαθοῦ ἐγκατέλιπον· διὸ βοῶ σοι ὡς Ληστήν, Γολγοθᾶ μετανοίᾳ διάσωσον.

*Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν*

Τὰ Πάθη σου, μελετῶν τὰ ἅγια, συγκατάβασίν σου Σῶτερ θαυμάζω, πῶς ὁ Θεός, κατεδέχθης ἀγάπης, ὑπερβολῇ τὸν σταυρὸν καταδέξασθαι, καὶ ὡς Λογγῖνος ἐκζητῶ, τῶν πολλῶν μου σφαλμάτων τὴν ἄφεσιν.

www.tezaurliturgic.ro


*Δόξα Πατρί.*

Αἱμάτων σου, ἡ ῥοὴ καθέστηκεν, ῥυπτικὴ ἁμαρτιῶν ἀνθρωπίνων, ἐν τῷ Σταυρῷ, ἀναμάρτητε Σῶτερ, καὶ Ἐκκλησίας ποτίζει τὸ πλήρωμα, ὡς πάλαι ἐν τῷ Γολγοθᾷ, τῶν φυλάκων δυάδα ἐπότισε.

*Καὶ νῦν καὶ ἀεί.*

Ὡς ἄνθρωπος, ἁμαρτάνω Δέσποινα, καὶ λυπῶ Ἐσταυρωμένον Υἱόν σου, ἀλλ' ἀπ'Αὐτοῦ, οὐ χωρίζομαι πάλιν, εὐελπιστῶν συγχωρήσεως τεύξασθαι, διὰ τῶν σῶν ἱκεσιῶν, καὶ δεήσεων Μῆτερ ἀπείρανδρε.

Διάσωσον, τοὺς ἀληθεῖ μετανοίᾳ Οἰκτίρμον, ἡμαγμένοις ποσί σου προσπίπτοντας, καὶ ὡς Ληστὴν ἐν Γολγοθᾷ, Βασιλείᾳ σου δέξαι.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.*

Τῷ σταυρῷ σου προσπίπτοντες Δέσποτα, οἱ πολλαῖς ἁμαρτίαις βαρούμενοι, ἐκβοῶμεν, τὴν τοῦ Ληστοῦ ἐγκάρδιον φωνήν· Μνήσθητε εὔσπλαγχνε ἡμῶν, καὶ Παραδείσου οἰκιστάς, σῷ ἐλέει ἀνάδειξον, πάντας τοὺς μετανοίᾳ, ἄφεσιν ἐκζητοῦντας, ὅπως δοξάζωμεν τὴν σήν, ὑπὲρ λόγον συγκατάβασιν.

Προκείμενον. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.
Στίχος. *Πεφυτευμένος ἐν οἴκῳ τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.*

**ΕΥΑΓΓΕΛΙΟΝ**

Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα

Τῷ καιρῷ ἐκείνῳ οἱ στρατιῶται ἄγοντες τὸν Ἰησοῦν ἀπῆλθον ἐπὶ τὸν τόπον τὸν καλούμενον Κρανίον. Ἐκεῖ ἐσταύρωσαν αὐτὸν καὶ τοὺς

www.tezaurliturgic.ro



κακούργους, ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ ἐξ ἀριστερῶν. Ὁ δὲ Ἰησοῦς ἔλεγε· Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι. Διαμεριζόμενοι δὲ τὰ ἱμάτια αὐτοῦ ἔβαλον κλῆρον. Καὶ είστήκει ὁ λαὸς θεωρῶν. Ἐξεμυκτήριζον δὲ καὶ οἱ ἄρχοντες σὺν αὐτοῖς λέγοντες· ἄλλους ἔσωσε, σωσάτω ἑαυτόν, εἰ οὗτός ἐστιν ὁ Χριστὸς ὁ τοῦ Θεοῦ ἐκλεκτός. Ἐνέπαιζον δὲ αὐτῷ καὶ οἱ στρατιῶται προσερχόμενοι καὶ ὄξος προσφέροντες αὐτῷ καὶ λέγοντες· εἰ σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων, σῶσον σεαυτόν. Ἦν δὲ καὶ ἐπιγραφὴ γεγραμμένη ἐπ' αὐτῷ γράμμασιν ἑλληνικοῖς καὶ ρωμαϊκοῖς καὶ ἑβραϊκοῖς· οὗτός ἐστιν ὁ βασιλεὺς τῶν Ἰουδαίων. Εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτὸν λέγων· εἰ σὺ εἶ ὁ Χριστός, σῶσον σεαυτὸν καὶ ἡμᾶς. Ἀποκριθεὶς δὲ ὁ ἕτερος ἐπετίμα αὐτῷ λέγων· οὐδὲ φοβῇ σὺ τὸν Θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε. Καὶ ἔλεγε τῷ Ἰησοῦ· Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ Παραδείσῳ. Ἦν δὲ ὡσεὶ ὥρα ἕκτη καὶ σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης, τοῦ ἡλίου ἐκλείποντος, καὶ ἐσχίσθη τὸ καταπέτασμα τοῦ ναοῦ μέσον· καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ Ἰησοῦς εἶπε· Πάτερ, εἰς χεῖράς σου παρατίθεμαι τὸ πνεῦμά μου· καὶ ταῦτα εἰπὼν ἐξέπνευσεν. Ἰδὼν δὲ ὁ ἑκατόνταρχος τὸ γενόμενον ἐδόξασε τὸν Θεὸν λέγων· ὄντως! ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν. Καὶ πάντες οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν θεωρίαν ταύτην, θεωροῦντες τὰ γενόμενα, τύπτοντες ἑαυτῶν τὰ στήθη ὑπέστρεφον.

*Δόξα Πατρί.*

Γολγοθᾶ Ἁγίων, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*
*Στίχ. Ἐλέησόν με ὁ Θεός…*
*Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.*

Σῶτερ ὑπεράγαθε, ὁ τὸν σταυρὸν ὑπομείνας, καὶ Ληστοῦ μετάνοιαν, εὐθὺς προσδεξάμενος, ὡς φιλάνθρωπος, τὰ ἡμῶν πάριδε, πλήθη τῶν πταισμάτων, καὶ παράσχου τὴν συγχώρησιν, τῷ θείῳ Αἵματι, ὅπερ ἑκουσίως ἐξέχεεας· ὡς κλεῖδά σοι τό, Μνήσθητι, οἱ ἡμαρτηκότες προσάγομεν, ἄβυσσον ἐλέους, ἀγάπης σου γινώσκοντες πολλῆς, δι' ἣν τὰ πάθη ὑπέμεινας, καταργήσας θάνατον.

*Ὠιδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

*Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν*

Ἐμακρύνθην σου σφόδρα, ἁμαρτίαν τελέσας ἅπασαν Δέσποτα, καὶ νῦν ἐν τῷ σταυρῷ σε, ὁρῶν καθηλωμένον, δι' ἐμὲ Πολυέλεε, κἀμοῦ μνησθείης βοῶ, ὡς τοῦ Ληστοῦ ἐμνήσθης.

*Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν*

Σταύρωσόν μου τὰ πάθη, καὶ δυσκίνητον τούτοις ποίησον Δέσποτα, ἵνα ὡς Παῦλος λέγω, Χριστῷ συνεσταυρώθην, καὶ Αὐτῷ πολιτεύομαι, καὶ ὡς εὐγνώμων Ληστής, Αὐτῷ συνενεκρώθην.

*Δόξα Πατρί.*

Τὴν θεότητα Σῶτερ, σοῦ γινώσκων οὐ παύομαι ἁμαρτάνων σοι, καὶ οὐχ Ἑκατοντάρχην, μιμοῦμαι ἐν τῇ πράξει, τὸν Θεὸν ἐπιγνόντα σε, καὶ μάρτυρά σου πιστόν, θανάτῳ γεγονότα.

*Καὶ νῦν καὶ ἀεί.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἀναισθήτως Υἱόν σου, ἐν σταυρῷ ὑψωμένον ὁρῶ Πανάχραντε, καὶ οὐκ ἐν μετανοίᾳ, προσπίπτω ἵνα λάβω, τῶν πταισμάτων τὴν ἄφεσιν, ὡς ὁ εὐγνώμων Ληστής, Παράδεισον πλουτήσας.

*Ὠιδὴ η΄. Τὸν βασιλέα.*

*Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν*

Ὑπάνοιξόν μοι, τοῦ Παραδείσου τὰς πύλας, τῷ σταυρῷ σου προσπίπτοντι Χριστέ μου, καὶ τὸ Μνήσθητί μου, Ληστοῦ κραυγάζοντί σοι.

*Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν*

Ῥερυπωμένον, τὸν βίον ἔχων Σωτήρ μου, ἐν ἐλπίδι τελῶ τῆς σωτηρίας· ὅθεν σύνταξόν με, τοῖς Γολγοθᾶ Ἁγίοις.

*Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, τὸν Κύριον ὑμνοῦμεν.*

Ὡς ἐλεήμων, σταυρὸν βαστάσας Χριστέ μου, αἵματί σου ἀπόπλυνον τὰ πλήθη, τῶν ἁμαρτημάτων, ψυχῆς μου τῆς ἀθλίας.

*Καὶ νῦν καὶ ἀεί.*

Μὴ παύσῃ Μῆτερ, ἐκδυσωπεῖν τὸν Υἱόν σου, χορηγῆσαι τὴν ἄφεσιν πταισμάτων, ἅπερ ἑκουσίως ἢ ἄκων εἰργασάμην.

*Ὠιδὴ θ΄. Κυρίως Θεοτόκον.*

*Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν*

Ἐν ὥρᾳ τῇ ἐσχάτῃ, ἀξιώσατέ με, τοῦ Γολγοθᾶ οἱ τετράριθμοι Ἅγιοι, ἐν δεξιοῖς τοῦ Κυρίου, στῆναι τὸν ἄθλιον.

*Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Νικήσας ἁμαρτίαις, πάντας τοὺς ἀνθρώπους, τετρὰς Ἁγίων βοῶ κἀμοῦ μνήσθητι, Χριστὲ ἐν σῇ Βασιλείᾳ, ὡς πολυέλεος.

*Δόξα Πατρί.*

Ἐλέησόν με Σῶτερ, τὸν ἀπηλπισμένον, ὡς τὸν Ληστὴν καὶ Λογγῖνον ἠλέησας, καὶ στρατιώτην με δεῖξον, τῆς Βασιλείας σου.

*Καὶ νῦν καὶ ἀεί.*

Ἁγνὴ Παρθενομῆτορ, δός μοι μετανοίας, καιρὸν καὶ δάκρυα ὅπως τὰ πταίσματα, πλύνω καὶ τύχω ὁ τάλας θείας ἀφέσεως.

*εἶτα ἐπιψάλλομεν τό,*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξωτέραν, ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

*καὶ τὰ ἑξῆς Μεγαλυνάρια*

Σταυρωθεὶς Σωτήρ μου ἐν Γολγοθᾷ, τὸν Ληστὴν εἰπόντα, Μνήσθητί μου ἀπὸ ψυχῆς, πρῶτον Παραδείσου, ἀνέδειξας πολίτην, δεικνὺς φιλανθρωπίας, πέλαγος ἄμετρον.

Σὲ Υἱὸν Ὑψίστου ἀληθινόν, ὁ Λογγῖνος Σῶτερ, ἐγνωκώς σε ἐν Γολγοθᾷ, ἅμα στρατιώταις, λαοῖς ἐκήρυξάν σε, καὶ στέφος μαρτυρίου, λαμπρὸν ἐδέξαντο.

Ὢ! φιλανθρωπίας σου Ἰησοῦ,τῆς ὑπὲρ τὸν λόγον, ὅτι σῴζεις πᾶσαν ψυχήν, ὅταν μετανοίᾳ, προσπίπτῃ τῷ σταυρῷ σου, καὶ τῶν ἁμαρτημάτων, αἰτῆται ἄφεσιν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.*
*καὶ τὰ τροπάρια*

Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς. Πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί.*

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ'ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

*Καὶ νῦν.*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε. Ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσαιμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων. Σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.*
*Ἦχος β.' Ὅτε ἐκ τοῦ ξύλου σε.*

Σῶτερ, τὸν Ληστὴν ἐν Γολγοθᾷ, καὶ ἑκατοντάρχην Λογγῖνον, σὺν στρατιώταις δυσί, σὲ ὁμολογήσαντας Υἱὸν Θεοῦ ἀληθῆ, καὶ μετάνοιαν δείξαντας, ἐκ βάθους καρδίας, Παραδείσου ἤνοιξας, πύλας διδάσκων ἡμᾶς, ὅπως ἀληθεῖ μετανοίᾳ, ζήσαντες εὑρήσομεν χάριν, καὶ τὴν θείαν δόξαν σου ὀψόμεθα.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου, φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

*Δι᾽ εὐχῶν.*

*Στίχοι*

*Σὺν τῶν Ἁγίων Γολγοθᾷ τῇ τετράδι,*
*Σῶτερ, ἡμᾶς πρόσδεξαι ἐν παραδείσῳ.*



ΛΟΘΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ